ρων, ἐρομένων αὐτῶν[24], Πότερον ἰδίᾳ[25] πάρεισιν, ἢ δημοσίᾳ ἐπέμφθησαν, Αἴκε[26] τύχωμεν, δημοσίᾳ εἶπεν· εἰ δὲ μὴ, ἰδίᾳ.

Σπαρτιάτης, ἐπεὶ τὰς ἁπαλὰς ἀμυγδαλὰς τῶν σκληρῶν ἑώρα διπλασίῳ[27] πωλουμένας, Μὴ σπάνιοι, ἔφη, οἱ λίθοι;

Κατ' ἐπιδημίαν[28] τις ἐν Σπάρτῃ κρηπιδούμενος ὀρθὸς ἐπὶ θατέρου σκέλους, εἶπε πρὸς Λάκωνα, Οὐκ ἂν οἶμαί σε, ὦ Λάκων, τοσοῦτον χρόνον ἐπὶ τοῦ ποδὸς, ὅσον ἐγὼ, στῆναι. Καὶ ὃς, ὑπολαβὼν, Οὐ γὰρ, ἔφη· τῶν μέν τοι χηνῶν οὐκ ἔστιν ὅστις οὔ[29].

Ἧκόν ποτε κατὰ πρεσβείαν[30] Λάκωνες πρὸς Λύγδαμιν τὸν τύραννον[31]· ὡς δ' ἐκεῖνος, ὑπερτιθέμενος πολλάκις συντυχεῖν, ἀνεβάλλετο, τὸ δ' ἐπὶ πᾶσι[32] μαλακῶς ἔχειν ἔφασαν[33] αὐτὸν, οἱ πρέσβεις, Λέγε αὐτῷ, εἶπον, ὅτι μὰ τοὺς θεοὺς οὐ παλαισόμενοι πρὸς αὐτὸν ἐληλύθαμεν, ἀλλὰ διαλεχθησόμενοι.

---

24) Τῶν τοῦ βασιλέως. 25) Ἰδιωτικῶς, δι' ἰδίαν αὐτῶν ὑπόθεσιν. 26) Δωρικῶς, ἀντὶ Εἰ μὲν, Ἐὰν μέν. 27) (Ἐνν.) Τιμήματι. 28) Ἐπιδημήσας κατὰ τύχην, εὑρεθεὶς ἐκεῖ ὡς ἐπιδημῶν. 29) Ἐλλειπτικὸν λόγου καὶ τοῦτο, ὡς καὶ τὸ πρὸ αὐτοῦ Οὐ; (ὀρθῶς οἴει), οὐ γὰρ (ἂν σταίην) τῶν μέν τοι χ. οὐκ ἔστιν ὅστις οὐκ (ἂν σταίη). 30) Λόγῳ πρεσβείας, ὡς πρέσβεις. 31) Βασιλέα τῶν Κιμμερίων Σκυθῶν, μεθ' ὧν εἰσβαλὼν εἰς τὴν Μικρὰν Ἀσίαν, ἀποκατεσφάγη ἐν Κιλικίᾳ. 32) Καὶ τέλος πάντων. 33) Οἱ περὶ τὸν τύραννον θεράποντες.